# ΠΕΡΙ ΤΗΣ ΓΕΝΕΣΕΩΣ ΚΑΙ ΑΡΧΗΣ ΤΗΣ ΚΩΜΩΔΙΑΣ

*(Συνέχεια· ἴδε προηγούμενον ἀριθμόν.)*

---

Ὡσαύτως οἱ αὐτοσχέδιοι οὗτοι ποιηταὶ καλοῦνται **φαλλοφόροι** καὶ **ἰθύφαλλοι** καὶ εἰσὶ μάλιστα, ὡς καὶ τὰ ἑαυτῶν ποιήματα, τῇ Διονύσου λατρείᾳ, εἰς Ἑλλάδα μετενεχθείσῃ ἐξ Αἰγύπτου διὰ Μελάμποδος καθ' Ἡρόδοτον: (1) «Ἕλλησι γὰρ δὴ Μελάμπους ἐστὶ ὁ ἐξηγησάμενος τοῦ Διονύσου »τότε οὔνομα καὶ τὴν θυσίην καὶ τὴν πομπὴν τοῦ φαλλοῦ: . . . . . . . Τὸν »δ' ὦν φαλλὸν τὸν τῷ Διονύσῳ πεμπόμενον Μελάμπους ἐστὶ ὁ κατηγησάμενος »καὶ ἀπὸ τούτου μαθόντες ποιεῦσι τὰ ποιεῦσιν Ἕλληνες. Ἐγὼ μὲν νύν φημι »Μελάμποδα γενόμενον ἄνδρα σοφὸν μαντικήν τε ἑαυτῷ συστῆσαι καὶ πυ»θόμενον ἀπ' Αἰγύπτου ἄλλα τε πολλὰ εἰσηγήσασθαι. Ἕλλησι καὶ τὰ περὶ «τὸν Διόνυσον». Αἱ δὲ εἰς Διόνυσον ἑορταὶ ἤγοντο πολλαχοῦ τῆς Ἑλλάδος καὶ ἐκαλοῦντο **φαλλοφόρια καὶ φαλλαγώγια**, τὰ δὲ κατ' αὐτὰς ᾄσματα, ἐξ ὧν κατ' Ἀριστοτέλη ἐγένετο ἡ κωμῳδία, φαλλικά. Ἡσύχιος ἐν λεξ. «φαλλικά: ᾠδὴ πεποιημένη εἰς τὸν Διόνυσον, τοῦ φαλλοῦ ἀγομένου»· καὶ ἐφεξῆς· «φαλλικόν· ὄρχημά τι· οἱ δὲ μέλος· ἄλλοι δὲ ᾠδὴν αὐτοσχέδιον ἐπὶ τῷ φαλλῷ ᾀδομένην». Ἤδετο δὲ ταῦτα, ὅτε ἐν πομπῇ ἐφέρετο τὸ Διονύσου σύμβολον, **ὁ φαλλὸς** ἢ **φάλης** καὶ ἀττικῶς **φαλῆς** περὶ οὗ Σουΐδας ἐν λεξ. «φαλλοί· μόρια δερμάτινα ἢ ξύλον ἐπίμηκες ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον»· καὶ ἑξῆς· «φαλλοί· αἰδοῖον σύκινον. Ὕστερον »δὲ ἐκ δερμάτων ἐρυθρῶν. σχῆμα αἰδοίου ἔχοντες ἀνδρείου, Καὶ τοῦτο »ἑαυτοῖς περιθέμενοι ἔν τε τοῖς τραχήλοις καὶ μέσοις τοῖς μικροῖς ἐξωρ»χοῦντο, τιμὴν τῷ Διονύσῳ ἐν τοῖς Διονυσίοις ἄγοντες».

Τῆς Διονύσου λατρείας ἕδρα ἐστὶν ἡ Βοιωτία, ὅπου κατὰ τοὺς μύθους ἐκ Διὸς καὶ Σεμέλης ὁ Θεὸς ἐγεννήθη. Ἐνταῦθα οἱ παρ' ἄλλοις καλούμενοι δεικελισταὶ καὶ ἰθύφαλλοι ἐκαλοῦντο ὑπὸ τῶν Θηβαίων **ἐθελονταί**, ἅτε δὴ μὴ ἔχοντες τοῦτο κύριον ἔργον, ἀλλ' ἑκάστοτε παριόντες πρὸς διδασκαλίαν. (2) Ἐκ δὲ τῆς Βοιωτίας μετηνέχθη καὶ εἰς ἄλλας τῆς Ἑλλάδος πόλεις, ὡς εἰς Φλιοῦντα, ἔνθ' ἦν σὺν τῇ Διονύσου λατρείᾳ καὶ αὐτοσχέδιός τις κωμικὴ ποίησις, ἡ τῶν σατύρων, ἐξ ἧς μετέπειτα τὸ σατυρικὸν

---

(1) Ἡρόδ. II, 49. (2) Ἀθην. XIV, 62 f.

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

δρᾶμα παρήχθη, οὗ εὑρέτης λέγεται ὁ Πρατίνας (1)· εἰς Σικυῶνα, ἢ καὶ διὰ τοῦ ἐνταῦθά τε καὶ ἐν Κορίνθῳ ἀναπτυχθέντος σεμνοῦ διθυράμβου κατὰ τὸν Ζ.΄ Π.Χ. αἰῶνα ἐν τῇ τοῦ τυράννου Περιάνδρου αὐλῇ ὑπ' Ἀρίονος τοῦ Μηθυμναίου πολὺ συνεβάλετο εἰς προαγωγὴν τῆς τε τραγῳδίας καὶ κωμῳδίας. Ὁ δὲ κατὰ τὴν Διονύσου λατρείαν ἐν Σικυῶνι κῶμος οὕτω προήχθη, ὥστε μυθευθῆναι αὐτὸν τὸν Βάκχον εἰσαγαγεῖν τοῦτον εἰς Σικυῶνα. Ἀνθολ. ΙΑ. ϛ2.

Μούσης νουθεσίην φιλοπαίγμονος εὕρετο Βάκχος
Ὦ Σικυών, ἐν σοὶ κῶμον ἄγων Χαρίτων.
Δὴ γὰρ ἔλεγχον ἔχῃ γλυκερώτατον, ἔν τε γέλωτι
Κέντρον· χὠ μεθύων ἀστὸν ἐσωφρόνισεν.

Ἐλατρεύετο δ' ὁ Διόνυσος ἔτι ἐν Εὐβοίᾳ, ἔνθα μυθεύεται τὸν Θεὸν ἀνατραφῆναι, Νάξῳ, Ἄργει καὶ Ῥόδῳ, ὅπου ἤκμασε κατὰ τὸ 600 Π. Χ. Ἀνθέας ὁ Λίνδιος, περὶ οὗ ἀναγινώσκομεν παρ' Ἀθηναίῳ.2 «Ἀνθέας ὁ »Λίνδιος, συγγενὴς δὲ εἶναι φάσκων Κλεοβούλου τοῦ σοφοῦ, ὥς φησι Φι»λόμνηστος ἐν τῷ περὶ τῶν ἐν Ῥόδῳ Σμινθίων, πρεσβύτερος καὶ εὐδαίμων ἄνθρωπος, εὐφυής τε περὶ ποίησιν ὢν πάντα τὸν βίον ἐδιονυσίαζεν, ἐσθῆτά τε Διονυσιακὴν φορῶν καὶ πολλοὺς τρέφων συμβάκχους, ἐξῆγε τὸν κῶμον ἀεὶ μεθ' ἡμέραν καὶ νύκτωρ. Καὶ πρῶτος εὗρε τὴν διὰ συνθέτων ὀνομάτων ποίησιν, ᾗ Ἀσωπόδωρος ὁ Φλιάσιος ὕστερον ἐχρήσατο ἐν τοῖς καταλογάδην ἰάμβοις. Οὗτος δὲ καὶ κωμῳδίας ἐποίει καὶ ἄλλα πολλὰ ἐν τούτῳ τῷ μέτρῳ τῶν ποιημάτων, ἃ ἐξῆρχε τοῖς μεθ' αὐτοῦ φαλλοφοροῦσιν».

Ἀλλὰ τῆς Διονύσου λατρείας πρώτη ἕδρα ἐκ παλαιτάτων χρόνων ἐστὶν ἡ Ἀττική. Ἐν τῷ δήμῳ αὐτῆς τῷ καλουμένῳ Ἰκαρίᾳ τὸν Διόνυσον ἐξ ἀρχῆς ἐλθόντα ὁ βασιλεὺς **Ἰκάριος** ὑπεδέξατο μετὰ προθυμίας καὶ χαρᾶς· διὸ ἡ ἐνταῦθα λατρεία τοῦ Διονύσου ἐστὶ παλαιτάτη καὶ μετὰ πολλοῦ ζήλου ἦγον ἐν τοῖς ἱστορικοῖς ἔτι χρόνοις τὰ κατ' ἀγροὺς Διονύσια· εἶτα δ' ἐντεῦθεν μετηνέχθη καὶ εἰς τοὺς λοιποὺς δήμους τῆς Ἀττικῆς, ἐν ᾗ ἐλατρεύετο ὁ Διόνυσος ἐν ἀφωρισμέναις αὐτῷ ἑορταῖς, καὶ τῶν μηνῶν Ποσειδῶ-

(1) Σουϊδ. ἐν λεξ. «Πρατίνας Πυῤῥωνίδου ἢ Ἐγκωμίου, Φλιάσιος, »ποιητὴς τραγῳδίας Ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ, ἐπὶ τῆς »ἑβδομηκοστῆς Ὀλυμπιάδος καὶ **πρῶτος ἔγραψε σατύρους**».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

νος, Γαμηλιῶνος (Ληναιῶνος ὑπ' Ἰώνων καλουμένου), Ἀνθεστηριῶνος καὶ Ἐλαφηβολιῶνος ἀγόμενοι. Τῶν δ' ἑορτῶν τούτων πρώτη μὲν ἦν τὰ **κατ' ἀγροὺς ἢ μικρὰ Διονύσια** καλούμενα, ἀγομένη μηνὸς Ποσειδεῶνος καὶ ἀρχαιοτάτη πασῶν. Δευτέρα δὲ τὰ **Λήναια**, ἃ Γαμηλιῶνος μηνὸς ἤγετο. Τρίτη δὲ τὰ **Ἀνθεστήρια**. μηνὸς Ἀνθεστηριῶνος ἀγομένη καὶ διαρκοῦσα τρεῖς ὅλας ἡμέρας, ὧν ἡ μὲν πρώτη **Πιθοίγια** ὠνόμασται, διὰ τὸ κατὰ ταύτην ἀνοίγειν τοὺς νέους οἴνους. ἡ δὲ δευτέρα **Χόες,** ἴσως διὰ τὸ ἀφωρίσθαι ταύτην πρὸς πόσιν, καὶ ἡ τρίτη **Χύτροι,** ἀπὸ τοῦ χύτρου ἀγγεῖον σημαίνοντος. Καὶ τετάρτη τὰ **ἐν Ἄστει ἢ Μεγάλα Διονύσια** καλούμενα, ἀγομένη μηνὸς Ἐλαφηβολιῶνος καὶ διαρκοῦσα τέτταρας ὅλας ἡμέρας, καθ' ἃς καὶ οἱ καθειργμένοι ἀφίεντο καὶ οὐδενὶ παρῆν τὴν τῶν ὀφειλετῶν οὐσίαν καταλαμβάνειν, οὐδὲ τοῦ τῶν παίδων χοροῦ τοὺς ξένους μετέχειν ἐξῆν, πλείστους ἐκ πολλῶν τῆς Ἑλλάδος πόλεων προσερχομένους,ὡς ἀγομένης τῆς ἑορτῆς ἔαρος ἀρχομένου. Ἀναγκαῖα καὶ συνήθη στοιχεῖα ἐν πάσαις ταῖς ἐν ἄστει τε καὶ τοῖς λοιποῖς δήμοις τῆς Ἀττικῆς ἀγομέναις κατὰ τὸν τρυγητόν, τὸν χειμῶνα καὶ τὸ ἔαρ ἑορταῖς τοῦ Διονύσου ἦν ὁ φαλλός, ὡς τὸ τῆς φύσεως σύμβολον, φαλλικὰ ᾄσματα, ἃ καὶ ἐπὶ Ἀριστοτέλους (1) ἔτι ἐν πολλαῖς τῶν πόλεων διέμενε, καὶ διθύραμβοι. Ἡ δὲ πομπὴ ἐτελεῖτο ἐν τοῖς κατ' ἀγροῖς Διονυσίοις, ὡς εἰκαστέον ἐστὶν ἐκ τοῦ Ἀριστοφάνους ἐν Ἀχαρνεῦσιν (στιχ. 202), ἔνθα φησὶν ὁ Δικαιόπολις:

Ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς
Ἄξω τὰ κατ' ἀγροὺς Διονύσια.

καὶ ἐφεξῆς ἐν στιχ. 247:

Καὶ μὴν καλόν γ' ἐστι, ὦ Διόνυσε δέσποτα,
Κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
Πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν
Ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια.

Οἵα δ' ἂν εἴη ἡ πομπὴ καὶ τὸ ᾆσμα, μανθάνομεν ἐκ τοῦ Ἀριστοφάνους. Ἐν Ἀχαρνεῦσιν ὁ Δικαιόπολις σπονδὰς πρὸς τοὺς Πελοποννησίους διὰ τοῦ Ἀμφιθέου ποιησάμενος καὶ βουλευσάμενος ἀγαγεῖν τὰ κατ' ἀγροὺς Διονύσια

---

(1) Ἀριστ. ποιητ. IV. 14, «Τὰ φαλλικὰ ᾄσματα ἔτι καὶ νῦν ἐν πολλαῖς τῶν πόλεων διαμένειν νομιζόμενα»·

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

πρῶτον μὲν θύει μετὰ τῶν δούλων, μετεχόντων τῶν τε πόνων καὶ τῶν ἀπολαύσεων τῶν δεσποτῶν, τῷ Διονύσῳ, εἶτα δὲ παρασκευάζει τὰ τῆς πομπῆς ὧδε· Ἡ μὲν ὡς κανηφόρος ἐσταλμένη θυγάτηρ αὐτοῦ ἡγεῖται τῆς πομπῆς φέρουσα τὸ κανοῦν, ἐν ᾧ τῶν καρπῶν ἀπαρχαὶ ἢ καὶ ἄλλα τῷ θεῷ δῶρα ἦν· ταύτῃ δ' εἵποντο οἱ θεράποντες ἀνέχοντες τὸν φαλλόν. Τῆς δὲ τοῦ Δικαιοπόλιδος (1) γυναικὸς ἀπὸ τῆς στέγης τὴν πομπὴν θεωμένης ὁ Δικαιόπολις ἐξᾴδει τὸ φαλλικόν:

Φαλῆς, ἑταῖρε Βακχίου,
ξύγκωμε, νυκτοπεριπλάνη-
τε, μοιχὲ παιδεραστά,
ἕκτῳ σ' ἔτει προσεῖπον ἐς
τὸν δῆμον ἐλθὼν ἄσμενος,
σπονδὰς ποιησάμενος ἐμαυτῷ,
πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς.
Πολλῷ γάρ ἐσθ' ἥδιον, ὦ Φαλῆς Φαλῆς.
κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως
μέσην λαβόντ', ἄραντα κατα-
βαλόντα καταγιγαρτίσαι.
Φαλῆς, Φαλῆς,
ἐὰν μεθ' ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
ἕωθεν εἰρήνης ῥοφήσεις τρύβλιον·
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.

Μετὰ τὴν πομπὴν τῆς φαλλοφορίας καὶ τὸ ᾆσμα ἐγίγνετο δεῖπνον, εἶτα δὲ κῶμος. Περὶ δὲ τῆς τῶν θιασωτῶν τούτων τοῦ θεοῦ σκευῆς, Σουΐδας φησὶν ἐν λεξ: «Φαλλοφόροι, ἰθύφαλλοι, αὐτοκάβδαλοι· ἰδέαι μου»σικῶν· καὶ οἱ μὲν κιττοῦ στέφανον ἐφόρουν· οἱ δὲ ἰθύφαλλοι προσωπεῖα »μεθυόντων εἶχον καὶ χειρίδας ἀνθίνας καὶ χιτῶνα μέχρι τῶν σφυρῶν. Οἱ

(1) —Ἀριστοφ. Ἀχαρ. 258. Ὦ Ξανθία, σφῷν δ' ἔστιν ὀρθὸς ἐκτέος
Ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου·
Ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν.
Σὺ δ' ὦ γύναι, θεῶ μ' ἀπὸ τοῦ τέγους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ.
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

»δὲ φαλλοφόροι ἐκ βίβλου δέρματος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις »στεφανούμενοι»·(1) «οἱ δὲ ἰθύφαλλοι (φησὶ Σῆμος ὁ Δήλιος) καλούμενοι »προσωπεῖον μεθυόντων ἔχουσι καὶ ἐστεφάνωνται χειρῖδας ἀνθινὰς ἔχοντες· »χιτῶσι δὲ χρῶνται μεσολεύκοις καὶ περιέζωνται ταραντῖνον (2) καλύπτον »αὐτοὺς μέχρι τῶν σφυρῶν». Οὕτω δ' ὄντες ἐσκευασμένοι ἀνελάμβανον τὸν φαλλόν, καὶ ἐν μέθῃ τε καὶ κραιπάλῃ περιῆγον πεζοὶ ἢ ἐφ' ἁμάξης αὐτὸν ἀπὸ τόπου εἰς τόπον ᾄδοντες μετ' ἀκολάστων σχημάτων καὶ ὀρχήσεων οἷα ἂν ἡ μέθη συνεχώρει ᾄσματα τῷ φαλλῷ ἀναφερόμενα ἐν μέτρῳ ἰαμβικῷ. Τῶν κώμων τούτων δυνάμεθα ἔννοιαν λαβεῖν ἐκ τοῦ Ἀθηναίου, διηγουμένου οἵῳ κατὰ τοὺς ἱστορικοὺς χρόνους ἐγίγνοντο τρόπῳ. Ἀθήναιος (XIV, 622 6).

«Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ παιάνων . . . . . . . οἱ δὲ ἰθύφαλλοι »(φησὶ) καλούμενοι προσωπεῖον μεθυόντων ἔχουσι καὶ ἐστεφάνωνται χειρῖδας »ἀνθηνὰς ἔχοντες· χιτῶσι δὲ χρῶνται μεσολεύκοις καὶ περιέζωνται ταραν»τῖνον καλύπτον αὐτοὺς μέχρι τῶν σφυρῶν. Σιγῇ δὲ διὰ τοῦ πυλῶνος εἰσελ»θόντες ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέφουσιν εἰς τὸ θέα»τρον λέγοντες

»ἀνάγετ' ἀνάγετε πάντες, εὐρυχωρίαν
»τῷ θεῷ ποιεῖτε.
»Ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφηδωμένος
»διὰ μέσου βαδίζειν.

»Οἱ δὲ φαλλοφόροι (φησὶ) προσωπεῖον μὲν οὐ λαμβάνουσι, προπύλιον δὲ ἐξ »ἑρπύλλου περιτιθέμενοι καὶ παιδέρωτας ἐπάνω τούτου ἐπιτίθενται στέφανόν »τι δασὺν ἴων καὶ κιττοῦ· καινάκας (3) τε περιβεβλημένοι περιέρχονται οἱ »μὲν ἐκ παρόδου, οἱ δὲ κατὰ μέσας τὰς θύρας βαίνοντες ἐν ῥυθμῷ καὶ λέ»γοντες

»Σοὶ Βάκχε τήνδε Μοῦσαν ἀγλαΐζομεν,
»ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
»καινὰν ἀπαρθένευτον, οὔτε ταῖς πάρος
»κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ὀκνήρατον

(1) Ἀθην. XIV, 122,6.—(2) Περὶ ταραντίνου ὅρα Πολυδ. ὀνομ. IV, 104.

(3) Ἡσυχ. «καινάκαι στρέμματα κ' ἐπιβόλαια ἑτερομαλ(χ)ῆ.»

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

»Εἶτα προστρέχοντες ἐτώθαζον οὓς ἂν προέλοιντο, βάδην δὲ ἔπραττον· ὁ δὲ »φαλλοφόρος ἰθὺ βαδίζων καταπλησθεὶς αἰθάλῳ».

Ἡ τῆς φαλλοφορίας πομπή, τὸ εἰς Διόνυσον ᾆσμα, ἡ ἐκ τούτου προερχομένη εὐθυμία καὶ μάλισθ' ὁ τῆς ἑορτῆς νόμος ἐπέτρεπε τοῖς συγκωμασταῖς τοὺς ἐντυγχάνοντας δαψιλῶς σκώπτειν καὶ λοιδορεῖσθαι. Τὰ τοιαῦτα σκώμματα ἀπήγγελλον ἐν μέτρῳ ἰαμβικῷ συνηθεστάτῳ ὄντι ἐν τοιούτοις ᾄσμασιν, ἐξ οὗ, ὡς ἀνωτέρω εἴρηται (σελ. 3) ἔν τισι πόλεσιν οἱ τοιοῦτοι αὐτοσχέδιοι ποιηταὶ ἴαμβοι ἐκλήθησαν. Ἐν τῷ αὐτῷ δὲ μέτρῳ ἐποίησε καὶ ὁ Ἀρχίλοχος, ὁ διὰ τοὺς μεγάλους αὐτοῦ χλευασμοὺς καὶ σκώμματα ὑπὸ Πινδάρου ἐπωνομασθεὶς **ψογερός.** (1) Δεῖγμα δὲ τῆς σκωπτικῆς ταύτης αὐτοσχεδίου ποιήσεως ἐν τοῖς Ἀριστοφάνοις Βατράχοις (στιχ. 416) εὑρίσκομεν. Ἐνταῦθα ὁ κωμικὸς εἰσάγει τὸν χορὸν πρῶτον μὲν ᾄδοντα εἰς τιμὴν τῆς Δήμητρος καὶ τοῦ Ἰάκχου, τῆς κωμῳδίας προστάτου, καταλλήλους ᾠδάς, εἶτα δ', ὡς ἐκ τῆς ἐν τοῖς Διονυσίοις ἐπικρατούσης ἐλευθερίας, ἀποστρεφόμενον πρὸς τὸ θέατρον καὶ ἐκφέροντα ὀνομαστὶ σκώμματα καὶ χλευασμούς :

Βούλεσθε δῆτα κοινῇ
σκώψωμεν Ἀρχέδημον,
Ὃς ἑπτέτης ὢν, οὐκ ἔφυσε φράτορας
νυνὶ δὲ δημαγωγεῖ
ἐν τοῖς ἄνω νεκροῖσι,
κἀστὶν τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας ;
Τὸν Κλεισθένη δ' ἀκούω
ἐν ταῖς ταφαῖσι πρωκτὸν
τίλλειν ἑαυτοῦ, καὶ σπαράττειν τὰς γνάθους·
κἀκόπτετ' ἐγκεκυφὼς
κἄκλαε, κἀνακεκράγει.
Σεβῖνον, ὅστις ἐστὶν Ἀναφλύστιος
καὶ Καλλίαν γέ φασι
τοῦτον τὸν Ἱπποβίνου
κύσθῳ λεοντῆν ναυμαχεῖν ἐνημμένον.

Τοιαῦτα αὐτοσχέδια σκωπτικὰ ᾄσματα ᾖδον, ὡς τὰ πολλά, κατ' ἀγροὺς πε-

(1) Πυθων. II, 55. «Εἶδον γὰρ ἑκὰς ἐπὶ τἀπόλλ' ἐν ἀμηχανίᾳ ψογερὸν Ἀρχίλοχον. βαρυλόγοις ἔχθεσιν πιαινόμενον».

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ριϊόντες, μεταγενέστερον δὲ καὶ εἰς τὰ θέατρα εἰσερχόμενοι, κτησαμένων πασῶν τῶν πόλεων τοιαῦτα. Ὁ δ' Ἀριστοφάνης, διασῴζων τὸν παλαιὸν τῆς κωμῳδίας ἀγροῖκον τρόπον, εἰσάγει καὶ δούλους σκώπτοντας καὶ χλευάζοντας τοὺς ἰδίους ἔτι δεσπότας ἀγροίκως καὶ εὐτελῶς· οἷον ἐν Ἱππεῦσι τὸν Δημοσθένη καὶ Νικίαν (δούλους τοῦ δήμου), Σφηξὶ τὸν Σωσίαν καὶ Ξανθίαν φυλαττομένους τε καὶ χλευάζοντας τὸν ἑαυτῶν δεσπότην Φιλοκλέωνα, Βατράχοις τὸν Ξανθίαν καὶ Πλούτῳ τὸν Καρίωνα. Ἐκ τούτου δὲ καταφαίνεται, ὅτι ἡ κωμῳδία, ἅτε ἐκ τῆς ἀγροτικῆς παιδιᾶς γενομένη, οὐχ οἷά τ' ἦν δι' ἔθος ἀποτρῖψαι τὴν προτέραν αὐτῆς φύσιν, καίπερ πολὺ διά τε τὴν τοῦ χρόνου πάροδον καὶ τὴν τέχνην ἀποβαλοῦσα τῆς προτέρας ἀγροικίας καὶ βωμολοχίας. Ὁ τρόπος δ' οὗτος τοῦ εὐθυμεῖν, εἶτα μιμεῖσθαι, σκώπτειν καὶ χλευάζειν τὰς τῶν συγχρόνων κακίας διετηρήθη ὑπὸ τῶν αὐτοσχεδίων τούτων ποιητῶν καὶ ἐν τοῖς μεταγενεστέροις χρόνοις, ὥσπερ μαρτυρεῖ Ἀριστοτέλης (1) τε καὶ Ἁρποκρατίων ἐν λέξ. «ἰθύφαλλοι. Ὑπερίδης ἐν τῷ κατ' Ἀρ»χεστρατίδου· οἱ τοὺς ἰθυφάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι ποιήματά τινα »οὕτως ἐλέγετο, ἐπὶ τῷ φαλλῷ ᾀδόμενα, ὡς Λυγκεὺς ἐν ταῖς ἐπιστολαῖς »φησι. Δημοσθένης δὲ ἐν τῷ κατὰ Κόνωνος, ἐπὶ ἀνωνύμου τιθεμένου τισὶ »κατὰ παιδιὰν ἔταξεν αὐτό . . . . . .» Καὶ Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος (14) φησί: «Εἰσὶν ἐν τῇ πόλει πολλοὶ καλῶν κἀγαθῶν ἀνδρῶν υἱεῖς, οἱ »παίζοντες οἷα ἄνθρωποι νέοι, σφίσιν αὐτοῖς ἐπωνυμίας πεποίηνται καὶ κα»λοῦσι τοὺς μὲν ἰθυφάλλους, τοὺς δὲ αὐτοληκύθους, ἐρῶσι δ' ἐκ τούτων ἑ»ταιρῶν τινὲς κτλ.» Πρβλ. αὐτόθι 16 καὶ 17: «οὗτοι γάρ εἰσιν οἱ τελοῦν»τες ἀλλήλους τῷ ἰθυφάλλῳ καὶ τοιαῦτα ποιοῦντες, ἃ πολλὴν αἰσχύνην ἔχει »καὶ λέγειν, μὴ ὅτι γε δὴ ποιεῖν ἀνθρώπους μετρίους».

Ἐκ τῶν τοιούτων κωμικῶν αὐτοσχεδιασμάτων ἐγένετο κατὰ μικρὸν ἐν Ἀττικῇ ἡ καλουμένη Ἀττικὴ κωμῳδία, ἥ, καίπερ τῆς τραγῳδίας ἀδελφὴ οὖσα καὶ ἐκ τῆς αὐτῆς πηγῆς πηγάσασα, δῆλα δὴ τῆς αὐτοσχεδιαστικῆς Διονυσιακῆς ποιήσεως, ὅμως κατ' ἀρχὰς παρεωρᾶτο ὑπὸ τῆς πολιτείας, καὶ κατ' Ἀριστοτέλη (2) κατελείπετο ταῖς χερσί των ἰδιωτῶν, **ἐθελοντῶν**

(1) Ἀριστ. Ποιητ. IV, 14.

(2) Ἀριστοτ. Ποιητ. V, 3. «Αἱ μὲν τῆς τραγῳδίας μεταβάσεις, καὶ δι' ὧν ἐγένοντο, οὐ λελήθασιν, ἡ δὲ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς ἔλαθεν· καὶ γὰρ χορὸν κωμῳδῶν ὀψέποτε ὁ ἄρχων ἔδωκεν, ἀλλ' ἐθελονταὶ ἦσαν. Ἤδη δὲ σχήματά τινα αὐτῆς ἐχούσης οἱ λεγόμενοι αὐτῆς ποιηταὶ μνη-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

κληθέντων· (1) ἐποιοῦντο γὰρ τὰς αὐτῶν διδασκαλίας, ὁπότ' ἂν βούλοιντο, καὶ παρεῖχον ἑαυτοῖς τὰ πάντα, μὴ διδομένου χοροῦ μηδὲ χορηγοῦ παρὰ τοῦ ἄρχοντος. Πρῶτος δὲ κωμικὸς παρ' Ἀθηναίοις ἐστὶν ὁ περὶ τὴν Γ'. Ὀλυμπιάδα (τὸ γ'. ἔτος) ἀκμάσας Σουσαρίων ὁ Φιλίνου, ὃς ἐξήγαγεν ἀπὸ τῶν φαλλικῶν ᾀσμάτων τὴν κωμικὴν ποίησιν. Οὗτος ἦν Μεγαρεὺς καὶ κατήγετο ἐκ τῆς Μεγαρικῆς κώμης Τριποδίσκου· ἐν Μεγάροις δὲ ἡ ποίησις αὕτη φαίνεται οὖσα ἐπιχώριος, καὶ ἐντεῦθεν μετήχθη πρῶτον μὲν εἰς Σικελίαν διὰ τῶν ἀποικιῶν, εἶτα δὲ καὶ εἰς τὴν γείτονα Ἀττικήν· οἱ δὲ παλαιοὶ ἀπεκάλουν τοὺς Μεγαρεῖς σκωπτικοὺς καὶ φιλοψόγους, ὡς ὁ Πιττακὸς ἐν τῇ ἀνθολογίᾳ (ΙΑ, 440).

Μεγαρεῖς δὲ φεῦγε πάντας· εἰσὶ γὰρ πικροί.

Κατ' Ἀριστοτέλη, (2) «ἀντιποιοῦνται. . . . . . . . . τῆς μὲν κωμῳδίας οἱ »Μεγαρεῖς, οἵ τε ἐνταῦθα ὡς ἐπὶ τῆς παρ' αὐτοῖς δημοκρατίας γενομένης καὶ »οἱ ἐκ Σικελίας· ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητής . . .» Ἡ δὲ τῶν Μεγαρέων δημοκρατία, περὶ ἧς ἀναφέρει ὁ Ἀριστοτέλης, ἐστὶν ἡ μετὰ τὴν τοῦ τυράννου αὐτῶν Θεαγένους φυγὴν κατασταθεῖσα ἐπὶ βραχὺν χρόνον, περὶ ἧς ὁ Πλούταρχος φησί: «Μεγαρεῖς Θιαγένη τὸν τύραννον ἐκβαλόντες ὀλίγον χρό»νον ἐσωφρόνησαν κατὰ τὴν πολιτείαν. Εἶτα πολλὴν καὶ ἄκρατον αὐτοῖς »ἐλευθερίαν τῶν δημαγωγῶν οἰνοχοούντων διαφθαρέντες παντάπασι τά τε »ἄλλα τοῖς πλουσίοις ἀσελγῶς προσεφέροντο καὶ παριόντες εἰς τὰς οἰκίας »αὐτῶν οἱ πένητες ἠξίουν ἑστιᾶσθαι καὶ δειπνεῖν πολυτελῶς κτλ»· ἔτι δ' ὁ δῆμος ἐπιτεθεὶς κατὰ τῶν πλουσίων πολλοὺς μὲν τούτων ἐφυγάδευσεν, ἵνα δημεύσῃ τὴν οὐσίαν αὐτῶν, κατὰ δὲ τῶν λοιπῶν τοσοῦτον εἰς ἀκολασίας ἐτράπη, ὥστε ψηφίσαι καὶ τὴν παλιντοκίαν καλουμένην, τὴν ὑπὸ τῶν δανειστῶν ἀπόδοσιν δηλονότι πάντων τῶν πρότερον ἀποτισθέντων αὐτοῖς τόκων. Ἐγένετο δὲ ἡ τοῦ Θεαγένους φυγὴ κατὰ τὴν μγ'. ἢ μδ'. Ὀλυμπιάδα κατὰ

---

μονεύωνται. Τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ προλόγους ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα, ἠγνόηται· τὸ δὲ μύθους ποιεῖν Ἐπίχαρμος καὶ Φόρμις. Τὸ μὲν οὖν ἐξ ἀρχῆς ἐκ Σικελίας ἦλθε, τῶν δὲ Ἀθήνησι Κράτης πρῶτος ἦρξεν ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας καθόλου ποιεῖν λόγους καὶ μύθους.»

(1) Εὐσταθ. εἰς Ἰλιάδ. Κ. 227. «Ἐκαλοῦντο δὲ καὶ ἐθελονταὶ ὅτε τις, μὴ λαβὼν χορὸν μηδὲ χορηγητὴν ἔχων, ἑαυτῷ τὰ πάντα παρεῖχε.»

(2) Ἀριστ. ποιητ. III, 5.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

γὰρ τὴν μβ'. Ὀλυμπιάδα ἡ τούτου τυραννὶς ὅτι διετέλει οὖσα δῆλόν ἐστιν ἐκ τούτου, ὅτι κατ' ἐκεῖνον τὸν χρόνον ἐβοήθησε τῷ γαμβρῷ αὐτοῦ Κύλωνι εἰς τὸ καταλαβεῖν τὴν τῶν Ἀθηνῶν Ἀκρόπολιν· ἐν δὲ τῷ πρὸς Ἀθηναίοις περὶ Σαλαμῖνος πολέμῳ, γενομένῳ, ὡς δοκεῖ, τῇ μδ'. Ὀλυμπιάδι, οὐδεμία τοῦ Θεαγένους μεία γίγνεται ὑπὸ τῶν ἀρχαιοτέρων συγγραφέων. Ὅθεν ἡ ἀκόλαστος ἐκείνη ὀχλοκρατία, περὶ ἧς τ' ἀνωτέρω γέγραφεν ὁ Πλούταρχος φαίνεται ἀρξαμένη, ἀπὸ τῆς με'. ἢ μϛ'. Ὀλυμπιάδος. Ἐν τῷ αὐτῷ τοίνυν χρόνῳ, ἐν ᾧ ἦν ἡ ὀχλοκρατία ἤκμασε παρὰ τοῖς Μεγαρεῦσι καὶ ἡ ταύτης τρόφιμος κωμῳδία, ἥ οὐ πολλῷ ὕστερον μεταξὺ τῆς ν'. καὶ νε'. Ὀλυμπιάδος μετηνέχθη διὰ Σουσαρίωνος εἰς Ἀττικήν.

Ὁ Σουσαρίων οὗτος ἐφ' ἁμάξης κατὰ τὸ Πάριον χρονικὸν (1) περιὼν ἐδίδασκε τὰς αὐτοῦ κωμῳδίας· οἷαι δ' ἂν εἴησαν αὗται, ὁ ἀνώνυμος περὶ κωμῳδίας συγγραφεὺς φησι: « Καὶ γὰρ οἱ ἐν Ἀττικῇ πρῶτον συστησάμενοι »τὸ ἐπιτήδευμα τῆς κωμῳδίας (ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα) καὶ τὰ πρόσω»πα εἰσῆγον ἀτάκτως,, καὶ μόνος ἦν γέλως τὸ κατασκευαζόμενον.» (1) Ὁ Σουαρίων λέγεται ὅτε μὲν ἀρχηγὸς τῆς ἐμμέτρου κωμῳδίας, ὅτε δὲ εὑρέτης τῆς ποιήσεως ταύτης· ἀναγινώσκομεν δὲ περὶ αὐτοῦ παρὰ τῷ ἀνωνύμῳ περὶ κωμῳδίας συγγραφεῖ. « Πρῶτον οὖν Σουαρίων τις τῆς ἐμμέτρου κωμῳδίας »γέγονεν ἀρχηγός· οὗ τὰ μὲν ποιήματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς »ἴαμβοι ἐπὶ μνήμῃ φέρονται τούτου· εἰσὶ δὲ οὗτοι.

» Ἀκούετε λεώς, Σουσαρίων λέγει τάδε,
»υἱὸς Φιλίνου, Μαγαρόθεν, Τριποδίσκιος·
»κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
»οὐκ ἔστιν οἰκεῖν οἰκίαν, ἄνευ κακοῦ.» (2)

Ἐν Ἰκαρίᾳ τῆς Ἀττικῆς, ὅπῃ κατὰ πρῶτον μετέβη ὁ Σουναρίων καὶ ἐδίδαξε τὰς αὐτοῦ κωμῳδίας, ἦν· ἤδη πρὸ τούτου συνήθης ὁ Βακχικὸς κῶμος, ὃ δὲ Σουσαρίων εἰσήγαγε μόνον τὸν σκωπτικὸν διάλογον ἔχοντα τὸ ἰαμβικὸν μέτρον καὶ ἀπευθυνόμενον κατ' ἐνδόξων ἀνδρῶν ἢ καὶ ὁλοκλήρων τάξεων, ὡς τῶν γυναικῶν. Ἡ Ἰκάριος ὅμως αὐτὴ κωμῳδία, ὡς δοκεῖ, οὐδὲν ἕτερον ἦν ἡ

(1) Ἀνώνυμος περὶ κωμῳδίας εἰς Ἀριστοφ. I, σελ. XXXIV, 2. edit. Bergk.

(2) Ἀνώνυμος περὶ κωμῳδίας εἰς Ἀριστοφ. I, σελ. XXXVI, 6.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ἰαμβικὸν σκωπτικὸν ποίημα, ἀπαγγελλόμενον μεταξὺ τοῦ φαλλικοῦ ᾄσματος ὑπὸ τοῦ κορυφαίου τοῦ Βακχικοῦ κώμου ἢ χοροῦ· ὁ δὲ ποιητὴς τοιούτων κωμικῶν χορῶν ἐλάμβανεν ὡς ἆθλον κάλαθον σύκων καὶ ἀμφορέα οἴνου ἢ γλεύκους ἢ τρυγός· διὸ ἡ κωμῳδία λέγεται καὶ **τρυγῳδία,** « διὰ τὸ τοῖς εὐδο-»κιμοῦσιν ἐπὶ τῷ Ληναίῳ γλεῦκος δίδοσθαι, ὅπερ ἐκάλονν τρύγα, ἢ ὅτι μή-»πω προσωπείων ηὑρημένων τρυγὶ διαχρίοντες τὰ πρόσωπα ὑπεκρίνοντο».(1) Ὅθεν Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι (στιχ. 628) φησί:

Ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν **τρυγικοῖς** ὁ διδάσκαλος ἡμῶν.

Ἔτι δ' ἐν Σφηξὶ (650).

Χαλεπὸν μὲν καὶ δεινῆς γνώμης καὶ μείζονος ἢ ἐπὶ **τρυγῳδοῖς·**

καὶ Νεφέλαις (296).

Οὐ μὴ σκώψῃς μηδὲ ποιήσῃς ἅπερ οἱ **τρυγοδαίμονες** οὗτοι,

ἔνθ' ὁ Σχολιαστής· «οἱ Ποιηταί, ἐπειδὴ τρυγὶ χριόμενοι, ἵνα μὴ γνώριμοι γέ-»νωνται, οὕτω τὰ αὑτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξαις ἐπικαθή-»μενοι. . . . . τοῦτο δ' ἐποίουν οἱ κωμικοὶ ποιηταί».

Ὠνόμασται δὲ ἡ **κωμῳδία** κατ' ἄλλους μὲν «παρὰ τὸ **κώμη** καὶ τὸ **ᾠδή·** »ἔστι δὲ εἶδος ποιήσεως ἐν κώμαις κατὰ τὸν βίον ᾀδόμενον» (2) κατ' ἄλλους δέ, «ὅτι ἐν καιρῷ τοῦ κώματος ἢ τοῦ ὕπνου (λέγεται γὰρ κῶμα ὁ ὕπνος) ᾖδον».(3) Ἀλλ' ἡ κωμῳδία τὴν ὀνομασίαν ἔσχεν ἐκ τοῦ **κῶμος,** πανηγυρικὸν σημαίνοντος συμπόσιον, γινόμενον μετὰ μουσικῆς τε καὶ ὀρχήσεως ἐν ἑορτῇ θεοῦ τινος καὶ ἰδίᾳ τοῦ Διονύσου, ἢ ἐπὶ τῇ νίκῃ τινός, ὅθεν **ἐγκώμιον·** τῶν τοιούτων δ' εὐφροσύνων συμποσίων μεταβαινόντων εὐθὺς εἰς δημοσίας πανηγυρικὰς πομπάς, ὑπὸ μουσικήν, ὄρχησιν καὶ ᾠδὴν γινομένας ἐν ταῖς ὁδοῖς ἢ καὶ πρὸ τῆς οἰκίας φίλου ἢ ἐρωμένης, ἡ τοιαύτη πομπὴ καὶ ᾠδὴ ἐκαλεῖτο **κῶμος.** Ὡς δ' αὔτως **κῶμος** ἐλέγοντο καὶ οἱ τοιούτου συμποσίου ἢ πομπῆς μέτοχοι. **Κωμῳδία** τοίνυν ἐστὶ κώμου ᾠδή, τοιούτου δηλ. πανηγυρικοῦ, συμποσιακοῦ καὶ πομπικοῦ ὁμίλου, καὶ ἐχρῶντο ἑπομένως τῇ λέξει ἐπὶ τοιούτων ποιημάτων πρὶν τὰ δράματα γενέσθαι.

Μετὰ τὸν Σουσαρίωνα ἐπελθούσης τῆς μακρᾶς τῶν Πεισιστρατιδῶν τυραννίδος ἡ κωμῳδία παρημελήθη, μέχρι οὗ ἀνακτησαμένων τῶν Ἀθηναίων τὴν ἐλευθερίαν διὰ Κλεισθένους ἀνεφάνησαν διάφοροι κωμικοὶ ποιηταί, ὡς ὁ

---

(1) Ἀνώνυμος περὶ κωμῳδίας εἰς Ἀριστοφ. I, σελ. XXXII, 2.

(2) Ἀνώνυμος περὶ κωμῳδίας εἰς Ἀριστοφ. I, σελ. XLI, 1.

(3) Ἀνώνυμος περὶ κωμῳδίας εἰς Ἀριστοφ. I, σελ. XXXVI, 10.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

**Εὐέτης, Εὐξενίδης** καὶ **Μύλλος.** Τούτους διεδέξατο ὁ **Χιωνίδης**, περὶ οὗ Σουΐδ ὡς λεξ. «Χιωνίδης, Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας »κωμῳδίας, ὃν καὶ λέγουσιν πρωταγωνιστὴν γενέσθαι τῆς ἀρχαίας κωμῳ-»δίας, διδάσκειν δὲ ἔτεσιν ὀκτὼ πρὸ τῶν Περσικῶν».

Τῷ Χιωνίδι ὁ Ἀριστοτέλης συνέδεσε τὸν **Μάγνητα·** Σουΐδας ἐν λεξ: «Μάγνης, Ἰκαρίου δήμου, Ἀττικὸς ἢ Ἀθηναῖος». Οὗτος ἐδίδαξεν ἐννέα δράματα καὶ δὶς ἐνίκησε κατὰ Σουΐδαν καὶ Εὐδοκίαν· ὁ Ἀριστοφάνης ὅμως ἐν Ἱππεῦσι στιχ. 521 περὶ Μάγνητος φησί,

ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα·

καὶ ὁ ἀνώνυμος περὶ κωμῳδίας συγγραφεύς. «Μάγνης δὲ Ἀθηναῖος ἀγωνισά-»μενος Ἀθήνησι νίκας ἔσχεν ιά. τῶν δὲ δραμάτων αὐτοῦ οὐδὲν σώζεται. »Τὰ δὲ ἐπιφερόμενα ἐστὶν ἐννέα».

Τοῦ Μάγνητος ὀλίγῳ μεταγενέστερος ἐστὶν ὁ **Ἐκφαντίδης,** πρὸς ὃν σύγχρονος ἐστὶν **Τολύνος** ὁ Μεγαρεύς.

Μετὰ τούτους ἀναφέρεται ὡς πρῶτος κατ' ἐξοχὴν τῶν Ἀθηναίων κωμικὸς ὁ **Κρατῖνος**, ἀφ' οὗ ἄρχεται ἡ τῆς ἀρχαίας τῶν Ἑλλήνων κωμῳδίας ἱστορία.

ΑΛΕΞΑΝΔΡΟΣ ΛΑΜΠΡΟΠΟΥΛΟΣ
*διδάκτωρ τῆς Φιλοσοφίας.*

# ΠΛΑΤΩΝΙΣ ΠΑΙΔΙΑ ΦΙΛΟΛΟΓΙΚΗ

Ὅτε χθὲς παρὰ τὴν σοφὴν Πλατωνίδα ἔμελλον ἰέναι, ἧπερ ὑπεσχόμην, αἴφνης τῶν γνωρίμων τις, χαλώσης τῆς θύρας τυχών, εἰσέρχεται καί με ὡς ἐξιόντα ἰδὼν παρεσκευασμένον, Μῶν, ὦ Στασῖνε, ἔφη, εἰς περίπατον ἔξει, ἢ ἄλλοσέ που μέλλεις ἰέναι; ὡς γὰρ ἐξιὼν ἔοικας παρεσκευασμένος. Εἰς περίπατον μέν, ὦ Ἑταῖρε, οὔ, παρὰ τὴν σοφὴν δὲ Πλατωνίδα εἶμι. Ἐν καιρῷ, ἔφη, δοκεῖ μοι, ὦ Στασῖνε, ἀφῖχθαι· καὶ γὰρ καὶ αὐτὸς ἐπ' αὐτὸ δὴ τοῦτο νῦν παρὰ σὲ ἀφῖγμαι, δεησόμενός σου ἰέναι μετ' ἐμοῦ παρὰ τὴν Πλατωνίδα· βούλομαι γὰρ ἐρέσθαι περί του, ὃ ἔναγχος παρά τινος τῶν φίλων ἔμαθον. Ἔστι δὲ τοῦτο τί; Οὐ χαλεπόν, ἔφη, καὶ σὲ νῦν, ὦ Στασῖνε, μαθεῖν αὐτό· βούλομαι γὰρ ἐρέσθαι, εἰ ἐν τοῖς σώφρων καὶ σωφροσύνη δεῖ γράφειν ὑπογεγραμμένον ἰῶτα· φιλόλογος γάρ, οἰόμενός τις εἶναι, διδάσκει, ὡς δεῖ ὑπογράφεσθαι τὰς λέξεις ταύτας, ὡς ἐκ τοῦ σώζειν γιγνομένας. Ἐπειδὴ οὖν αὐτὸς

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008